# ARISTOXENUS

Selinuntius
s. vii vel vi

Hephaest. *Ench.* 8. 3 Ἀριστόξενος δὲ ὁ Σελινούντιος Ἐπιχάρμου πρεσβύτερος ἐγένετο ποιητής, οὗ καὶ αὐτὸς Ἐπίχαρμος μνημονεύει ἐν Λόγῳ καὶ Λογίνᾳ· "οἱ τοὺς ἰάμβους καὶ τὸν †ἄριστον τρόπον | ὃν πρᾶτος εἰσαγήσαθ' Ὡριστόξενος" (fr. 88 Kaibel). καὶ τούτου τοίνυν τοῦ Ἀριστοξένου μνημονεύεταί τινα τούτῳ τῷ μέτρῳ γεγραμμένα·

τίς ἀλαζονίαν πλείσταν παρέχει τῶν ἀνθρώπων; τοὶ μάντεις.

# ASIUS

Samius
s. vi?

**14** Ath. 125d

χωλός, στιγματίης, πολυγήραος, ἶσος ἀλήτηι
ἦλθε κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος· ἐν δὲ μέσοισιν
ἥρωσ' εἱστήκει βορβόρου ἐξαναδύς.

# ASOPODORUS

Phliasius
s. iv vel iii?

Ath. 445b de Anthea Lindio καὶ πρῶτος εὗρε τὴν διὰ τῶν συνθέτων ὀνομάτων ποίησιν, ᾗ Ἀσωπόδωρος ὁ Φλειάσιος ὕστερον ἐχρήσατο ἐν τοῖς καταλογάδην ἰάμβοις.

Id. 639a de carminibus venereis ἔτι δὲ τὰ Ἀρχιλόχου καὶ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/87 UNIVERSITÄT LEIPZIG